(Δη.) οὑτοςὶ μελαγχολᾶι.
εἰςπεπήδηκεν. τί τούτοις τοῖς κακοῖς τις χρήςεται;
οὐδεπώποτ' εἰς τοιαύτην ἐμπεςών, μὰ τοὺς θεούς,
οἶδα ταραχήν. ἔςτι μέντοι τὸ γεγονὸς φράςαι ςαφῶς
πολὺ κράτιςτον. ἀλλ', Ἄπολλον, ἡ θύρα πάλιν ψοφεῖ.
Χρ. ὦ τάλαιν' ἐγώ, τί δράςω; ποῖ φύγω; τὸ παιδίον
λήψεταί μου.
Δη. Χρυςί, δεῦρο.
(Χρ.) τίς καλεῖ με;
(Δη.) εἴςω τρέχε.
Νι. ποῖ ςύ, ποῖ φεύγεις;
(Δη.) Ἄπολλον, μονομαχήςω τήμερον,
ὡς ἔοικ', ἐγώ. τί βούλει; τίνα διώκεις;
(Νι.) Δημέα,
ἐκποδὼν ἄπελθ'· ἔα με γενόμενον τοῦ παιδίου
ἐγκρατῆ τὸ πρᾶγμ' ἀκοῦςαι τῶν γυναικῶν.
(Δη.) μηθαμῶς.
(Νι.) ἀλλὰ τυπτήςεις με;
(Δη.) ἔγωγε.—θᾶττον εἰςφθάρηθι ςύ.
(Νι.) ἀλλὰ μὴν κἀγώ ςε.
(Δη.) φεῦγε, Χρυςί· κρείττων ἐςτί μου.
(Νι.) πρότερος ἅπτει μου ςὺ νυνί· ταῦτ' ἐγὼ μαρτύρομαι.
Δη. ςὺ δ' ἐπ' ἐλευθέραν γυναῖκα λαμβάνεις βακτηρίαν
καὶ διώκεις.
(Νι.) ςυκοφαντεῖς.
(Δη.) καὶ ςὺ γάρ.
(Νι.) τὸ παιδίον
ἐξένεγκέ μοι.
(Δη.) γελοῖον· τοὐμόν.
(Νι.) ἀλλ' οὐκ ἔςτι ςόν.
(Δη.) ἐμόν.
(Νι.) ἰὼ 'νθρωποι.
(Δη.) κέκραχθι.
(Νι.) τὴν γυναῖκ' ἀποκτενῶ